προσδοκίαν ταύτην, καὶ οὐκ ἐμνήσθης μου, εἶπεν κύριος. οὐκ ἰδοὺ
ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποίησα; εἶπεν ὁ θεός. [10]εὐφράνθητι, 10
Ιερουσαλημ, καὶ πανηγυρίσατε ἐν αὐτῇ, πάντες οἱ ἀγαπῶντες αὐ-
τήν, χάρητε χαρᾷ, πάντες ὅσοι πενθεῖτε ἐπ᾽ αὐτῆς, [11]ἵνα θηλάσητε 11
καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλάσαντες
τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς. [12]ὅτι τάδε λέγει κύριος Ἰδοὺ 12
ἐγὼ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης καὶ ὡς χειμάρρους
ἐπικλύζων δόξαν ἐθνῶν· τὰ παιδία αὐτῶν ἐπ᾽ ὤμων ἀρθήσονται
καὶ ἐπὶ γονάτων παρακληθήσονται. [13]ὡς εἴ τινα μήτηρ παρακα- 13
λέσει, οὕτως καὶ ἐγὼ παρακαλέσω ὑμᾶς, καὶ ἐν Ιερουσαλημ παρα-
κληθήσεσθε. [14]καὶ ὄψεσθε, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὰ 14
ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ· καὶ γνωσθήσεται ἡ χεὶρ κυρίου
τοῖς σεβομένοις αὐτόν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν.
[15]Ἰδοὺ γὰρ κύριος ὡς πῦρ ἥξει καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ 15
ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν καὶ ἀποσκορακισμὸν ἐν φλογὶ πυρός.
[16]ἐν γὰρ τῷ πυρὶ κυρίου κριθήσεται πᾶσα ἡ γῆ καὶ ἐν τῇ ῥομ- 16
φαίᾳ αὐτοῦ πᾶσα σάρξ· πολλοὶ τραυματίαι ἔσονται ὑπὸ κυρίου.
[17]οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους καὶ ἐν τοῖς 17
προθύροις ἔσθοντες κρέας ὕειον καὶ τὰ βδελύγματα καὶ τὸν μῦν
ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται, εἶπεν κύριος, [18]κἀγὼ τὰ ἔργα αὐτῶν 18
καὶ τὸν λογισμὸν αὐτῶν ἐπίσταμαι. ἔρχομαι συναγαγεῖν πάντα τὰ
ἔθνη καὶ τὰς γλώσσας, καὶ ἥξουσιν καὶ ὄψονται τὴν δόξαν μου.
[19]καὶ καταλείψω ἐπ᾽ αὐτῶν σημεῖα καὶ ἐξαποστελῶ ἐξ αὐτῶν 19
σεσῳσμένους εἰς τὰ ἔθνη, εἰς Θαρσις καὶ Φουδ καὶ Λουδ καὶ Μο-
σοχ καὶ Θοβελ καὶ εἰς τὴν Ἑλλάδα καὶ εἰς τὰς νήσους τὰς πόρρω,
οἳ οὐκ ἀκηκόασίν μου τὸ ὄνομα οὐδὲ ἑωράκασιν τὴν δόξαν μου,
καὶ ἀναγγελοῦσίν μου τὴν δόξαν ἐν τοῖς ἔθνεσιν. [20]καὶ ἄξουσιν 20
τοὺς ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν δῶρον κυρίῳ μεθ᾽
ἵππων καὶ ἁρμάτων ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων εἰς τὴν
ἁγίαν πόλιν Ιερουσαλημ, εἶπεν κύριος, ὡς ἂν ἐνέγκαισαν οἱ υἱοὶ

9 γενν. .. στειραν] tr. S† | ο θεος SAC] + σου BL, κυριος Q† || 10 ευφρανθητε L = 𝔐 | ιερουσ.] pr. αμα L (in O sub ※): cf. Johannessohn Präp. p. 212 | εν αυτη > AC | οι αγαπωντες αυτην] οι αγαπ. εν αυτην (sic) S*†, οι ενοικουντες εν αυτη A†, οι κατοικουντες εν αυτη Sc†, + και οι κατοικουντες αυτην C(†) | χαρητε] + αμα αυτη BL (in O sub ※): cf. sup. | χαραν ACp | επ αυτης AQ] επ αυτη B, εν αυτη Cp†, επ αυτην SLCp || 13 ουτως] pr. οτι A† | παρακαλεσω υμας] tr. S† || 14 οψεσθε] οψεται AQ | υμων / η καρδια] tr. BL | σεβομενοις] φοβουμ. BL || 15 εκδικ. et αποσκορ.] + αυτου BL = 𝔐 || 16 κριθησεται] καταναλωθ. A†: cf. 17 || 17 κρεας υ(ε)ιον BScLC] κρεα(initio κρια) υεια S*†, κρεα υιον (sic) AQ: cf. 65 4 | αναλωθ.] pr. κατ. A†: cf. 16 || 18 επισταμαι SLC] > BAQ = 𝔐 | γλωσσας] + αυτων S† || 19 σημ(ε)ια AQSc] -μειον BS*LC | εξ] επ S*† | φουθ SQCp | λουθ S† | θοβελ] pr. εις BL | εις τας] εις > B | ουδε] ουτε BC | την δοξαν / μου AQC] tr. BScL, μου τα εργα και την δοξαν S*† | μου / την δοξαν SAQ] tr. BLC

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/659 UNIVERSITÄT LEIPZIG